eul_wid: gfe-ab

*Σιμύλος ὁ Ἐλεγειακός* · Simylus the Elegiac Poet

# On the Senses and Human Excellence

*Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἐπική* Epic (Homeric)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 726.1 [ln_1]πέντ’ εἰσὶν ἃς ἄνθρωπος αἰσθήσεις ἔχει· {ἁφὴν ὅρασιν ἀκοὴν γεῦσιν ὄσφρησιν μία} τούτων ἁπασῶν {ἐστι} κυριωτάτη 〈μία〉, ἀκοή· φαγὼν γὰρ οὐδὲ εἷς ἐστιν

book 726.2 σοφός[ln_5]οὐδ’ ἁψ〈άμενος οὐδ’ ὀσφρ〉όμενος οὐδ’ εἰσιδὼν τὸ λυσιτελὲς 〈 〉 ἐκ

book 726.3 τοῦ δ’ ἀκούειν μανθάνειν

book 726.4 τε τἀγαθὰ πολλοὶ φρόνιμοι γεγόνασι· ταύτην γὰρ μίαν ὁ νοῦς ἑαυτῷ κατέλιπεν διδάσκαλον[ln_10] 〈 〉 ὥσπερ δικαστὴν ἢ κριτὴν ἢ κύριον.

book 727.1 [ln_1]οὔτε φύσις ἱκανὴ γίγνεται τέχνης ἄτερ

book 727.2 πρὸς οὐδὲν ἐπιτήδευμα

book 727.3 παράπαν οὐδενί, οὔτε πάλι τέχνη μὴ φύσιν κεκτημένη. τούτων ὁμοίως

book 727.4 τοῖν δυοῖν

book 727.5 συνηγμένων[ln_5]εἰς

book 727.6 ταὐτόν, ἔτι δεῖ προσλαβεῖν

book 727.7 χορηγίαν, ἔρωτα, μελέτην, καιρόν, εὐφυῆ χορόν, κριτὴν τὸ ῥηθὲν δυνάμενον

book 727.8 συναρπάσαι. ἐν ᾧ γὰρ ἂν

book 727.9 τούτων

book 727.10 τις ἀπολειφθεὶς τύχῃ, οὐκ ἔρχετ’ ἐπὶ τὸ τέρμα

book 727.11 τοῦ προκειμένου.[ln_10]φύσις θέλησις ἐπιμέλει’ εὐταξία

book 727.12 σοφοὺς τίθησι κἀγαθούς· ἐτῶν δέ τοι ἀριθμὸς οὐδὲν ἄλλο

book 727.13 πλὴν γῆρας

book 727.14 ποιεῖ.

book 728.1 [ln_1]κοινῶς

book 728.2 ποιητὰς 〈πάντασ〉 ἔθος ἐστὶν καλεῖν καὶ τοὺς

book 728.3 περιττοὺς τῇ φύσει καὶ τοὺς κακούς· ἔδει δὲ κρίνειν.